# 23 ΦΕΒΡΟΥΑΡΙΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΠΟΛΥΚΑΡΠΟΥ ΕΠΙΣΚΟΠΟΥ ΣΜΥΡΝΗΣ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

**Δί' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.**

**Ψαλμός 142 Κύριε εισάκουσον….**

**Θεός Κύριος και επέφανεν ημίν (τετράκις μετα των στοίχων)**

**Ήχος πλ. β' όλην αποθέμενη**

Μη με χειμαζόμενον εν αμαρτίαις παντοίαις, και καταικιζόμενον αλγεινώς αικίσιν αλάστορος, αποκλείνης Άγιε, αλλ' οικτείρησον με τον άσωτον· δέχου την δέησιν, ην από καρδίας προσάγω σοι· Θεός γαρ σε παράκλησιν και παραμυθίαν πιστοίς παρέσχε· όθεν σοι κραυγάζω, θεράπων του Χριστού θαυματουργέ, υπέρ και ου ολοκαύτωσας, επισπεύσας ίασαι.

**Δόξα και νύν Ου σιωπήσομεν ποτε Θεοτόκε…..**

**Ψάλμος 50 Ελέησον με ο Θέος ….**

## Ωδή α'. Υγράν διοδεύσας.

Τα χείλη ανοίξω τα βδελυρά, και γλώσσαν κινήσω, του αιτήσασαι παρά σου, δοθήναι μοι ρώσιν τε και σθένος, ως εξειπείν των θαυμάτων το πέλαγος.

Αιτούμαι σε πάτερ ειλικρινώς, τας πολλάς αμαρτίας, παραπτώματα τα εμά, πάριδε πάντα και ανάσχου, του εισακούσαι μου πανθαύμαστε.

Λάμπρυνον τοίνυν το της ψυχής, της εμής τον κόσμον, και οδήγησον ασφαλώς, προς τρίβους με όντως τας ευθείας, την των δαιμόνων ελαύνων επήρειαν.

***Θεοτοκίον.***

Πάντες οι νόες των γηγενών, εκπλήττονται Κόρη, υπέρ λόγον, σω τοκετώ· Συ γαρ τον Κτίστην των απάντων, εν τη γαστρί σου εχώρησας.

***Ωδή γ’. Ουρανίας αψίδος.***

Προστάτην σε πάντες, οι εν δεινοίς κεκτήμεθα, ρύστην και εν πάσαις ταις συμφοραίς· όθεν αιτούμεν σε, εν πόθω ζέοντι, νυν τον Χριστόν ικετεύσαι, εξελείν το ποίμνιον πάσης κακώσεως.

Τον Χριστόν συ κηρύξας, δι’ Αυτόν ολοκαύτωσας· αγάλλη δε αεί νυν, Πάτερ, δόξαν ουράνιον, ορών αέναα· διο μη παύση πρεσβεύων, του σώζεσθαι άπαντας, σοι νυν προστρέχοντας.

Ικετεύομεν Πάτερ, ως θερμώς οι δούλοι σου, και γόνυ κάμπτοντες βοώμεν· δέξαι την δέησιν, πιστώς τιμώντων σου, την πανσεβάσμιον μνήμην, και προσκυνούντων εν πίστει την πάντιμον χείρα σου.

***Θεοτοκίον.***

Ικετεύω Σε, Κόρη, τον Χριστόν κυήσασαν, το γνόφον του νοός μου διαλύσαι, όπως υμνήσω Σου, την μεγαλειότητα, την δωρηθείσαν Σοι, παρά Χριστού Θεού Λόγου, του μόνου Παντάνακτος.

Κραυγάζομεν εν πίστει σοι άπαντες θεηγόρε, ότι ρύστην εν τοις δεινοίς, αεί σε κεκτήμεθα, και πρεσβεύεις απαύστως τω Χριστώ Θεού τω Λόγω.

Ιλάσθητι τοις δούλοις Σου, απείρανδρε Θεοτόκε, γνώρισον δε γε νυν ημίν, την μόνην αλήθειαν, όπως αεί υμνούμεν τον Χριστόν, των πάντων Κτίστην.

***Τροπάριον. Ήχος β’.***

Λιπάρει Χριστόν, τας χείρας καθηλώσαντα, του σώσαι ημάς, δεινώς ολισθήσαντας, και μηδέν φυλάξαντας, πεσόντας δε εις τον βόρβορον Άγιε, τοις πονηροίς δε δόντες εαυτούς, τους πάντας οξέως αναρπάζουσιν.

***Ωδή δ’. Εισακήκοα Κύριε.***

Καθοδήγησον Πάνσοφε, εις τας ευθείας τρίβους σου το ποίμνιον, και νυν άπαντας κατεύθυνον, προς το φως το λάμπων αλήθειαν.

Κεκτημένοι θεόσοφε, την πάντιμον χείραν ημίν την βλύζουσαν τα ιάματα ως νάματα, ως εικός οι άπαντες χαίρομεν,

Δυσωπούμεν σε Άγιε, του πρεσβεύειν αεί Χριστώ τω Παντάνακτι, του εκλυτρούσθαι κακώσεως, τους προσκυνούντας εν πίστει τα λείψανα.

***Θεοτοκίον.***

Ικετεύω Πανύμνητε, και εκχέω ωσεί κρουνούς τα δάκρυα, εξαιτούμενος θερμότατα, παριδείν μου πταισμάτων το πέλαγος.

***Ωδή ε'. Φώτισον ημάς.***

Έλασον σοφέ, των εν πίστει προσκυνούντων σου, την πανσεβάσμιον χείραν και πάντιμον, την δεινήν νόσον, ως σκληρώς πάντας θερίζουσαν.

Ρύσαι νυν ημάς, των κινδύνων θεηγόρε σοφέ, και Χριστώ αεί τω Λόγω, πρέσβευε υπέρ των πίστει, τιμώντων τα λείψανα.

Όλως ως πυρί, ως τον Χριστόν κηρύξας τρανώς, και εδέξω παρ' Αυτού τον στέφανον, και νυν πρεσβεύεις του λυτρούσαι ημάς άπαντας.

***Θεοτοκίον.***

Δέξαι νυν σεμνή, την πενιχράν ταύτην δέησιν, και ημών μη παρίδης τα δάκρυα, αλλά παράσχου την των δεινών απολύτρωσιν.

***Ωδή στ'. Την δέησιν εκχεώ.***

Εκήρυξας της ζωής την άβυσσον, και Θεού τον προαιώνιον Λόγον, τον εκ φθοράς αναρπάσαντα πάντας, και αμαρτίας Σταυρώ καθηλώσαντα· εβλάστησας δε νυν ημίν το φυτόν το πολύκαρπον Άγιε.

Επλήρωσας δι ευχής τους σιτώντας, γυναικός της θρεψαμένης σε πάτερ, ους τοις πτωχοίς, εξεκένωσας τότε, καταπραΰνας λιμόν τον επάρατον· κατάπλησον και νυν ημάς του φωτός του λαμπρύνοντος πνεύματα.

Ανέστειλας του αυχμού αμετρίαν, τον Θεόν εξιλασκόμενος πάτερ, και νυν ημάς περιπίπτοντας πάντας, εις αμαρτίας δεινά παραπτώματα, δεόμεθα ειλικρινώς, εξ αυτών επανόρθωσον Άγιε.

***Θεοτοκίον.***

Εχώρησας τον παντί Αχώρητον, και Θεόν δημιουργήσαντα πάντα, και τω μαστώ Συ εθήλασας Τούτον, τον εν ερήμω λαόν Αυτού θρέψαντα· ιλάσθητι και νυν ημίν, σον Υιόν δυσωπούσα και Κύριον.

**Κραυγάζομεν…**

**Ιλάσθητι…**

***Κοντάκιον. Ήχος β'.***

Την σεπτήν σου χείραν πλούτον ακένωτον, κεκτημένοι πρέσβυν σε προς Θεόν προτιθέμεθα, μη παρίδης νυν σους ικέτας, Πολύκαρπε, αλλ' επίσπευσον ως συμπαθής εις την αντίληψιν ημών, των πιστώς εκβοώντων σοι· πρόφθασον εν κινδύνοις, και ρύσαι κεκαμωμένους, επικαμπτόμενος νυνί ικεσίαις δεομένων σου.

Προκείμενον. Δίκαιος ως φοίνιξ ανθήσει…
Στ.: Πεφυτευμένος εν τω οίκω Κυρίου…

*Ευαγγέλιον. Εκ του κατά Ματθαίου.*

Τω καιρώ εκείνω, προσκαλεσάμενος ο Ιησούς τους δώδεκα μαθητάς Αυτού..

***Δόξα. Ταις του Ιεράρχου…***

***Και νυν. Ταις της Θεοτόκου…***

**Ιδιόμελον. Ήχος πλ. β'. Στ.: Ελεήμον, ελέησον με ο Θεός…**

Μη με χειμαζόμενον εν αμαρτίαις παντοίαις, και καταικιζόμενον αλγεινώς αικίσιν αλάστορος, αποκλείνης Άγιε, αλλ' οικτείρησον με τον άσωτον· δέχου την δέησιν, ην από καρδίας προσάγω σοι· Θεός γαρ σε παράκλησιν και παραμυθίαν πιστοίς παρέσχε· όθεν σοι κραυγάζω, θεράπων του Χριστού θαυματουργέ, υπέρ και ου ολοκαύτωσας, επισπεύσας ίασαι.

***Ωδή ζ'. Οι εκ της Ιουδαίας.***

Της ψυχής μου το νέφος, το κατάπυκνον Άγιε, διασκέδασον, και μάστιγα οδύνης, μαστίζουσαν το σώμα, και ψυχήν καταθλίβουσαν, απέλαυνον μου σοφέ, πηγή η των θαυμάτων.

Θεόθεν συ έχων, των ιάσεων χάριν σοφέ Πολύκαρπε, ιάσεως αξίους, ποίησον τρισμάκαρ, τους εν πίστει σοι κράζοντας· εκ των παντοίων δεινών σώζε σους ικέτας.

Εκτενώς σοι βοώντας, και εν δάκρυσι πάτερ· σοι νυν προσφεύγοντας, μη πάριδε αιτούμεν· πρόσδεξαι δε πάτερ, και κινδύνων διάσωσον, προσκυνούντας ευσεβώς, τα λείψανα τα θεία.

**Θεοτοκίον.**

Ω Δέσποινα πάντων, η τεκούσα τον Σωτήρα και Πλάστην μου, ευώνυμον τον χώρον, φυγείν εκδυσωπών Σε εν ημέρα της κρίσεως· ότι ο Υιός Σου κρίνει τα σύμπαντα ασφύκτως.

**Ωδή η'. Τον Βασιλέα των ουρανών.**

Γέμει μου εκ παντοίων το σώμα νοσημάτων, παρείται τα μέλη· ελέησον ω Πάτερ, σον πιστόν ικέτην.

Απορούμαι θεραπείας βροτείας πάσης· λιπαρώς σε θερμώς τον προστάτην, πρόφθασον με σώσον, και ρώσιν μοι παράσχου.

Καθικετεύω ίλεως μοι νυν πρόσβλεψον ουρανόθεν ιώμενος πάθη, πάνδεινα και ρύσαι κακώσεως με Μάρτυς.

***Θεοτοκίον.***

Υμνώ Σε, την Χερουβίμ υπερτέραν, ως τον Κτίστην των απάντων τεκούσαν, λατρεύων εις αιώνας, Παρθένε τω Υιώ Σου.

***Ωδή θ'. Κυρίως Θεοτόκον.***

Ελαύνεις τας ακρίδας, τα ζώα εξιάσαι, παραδόξως τερατουργέ Πολύκαρπε, διο θερμώς εκβοώ σοι· τα πάθη μου ίασαι.

Ιάσεων κρατήρα, ανελλιπή σοι χείρα Ιερομάρτυς τοις πιστοίς προσέθηκε, ζωαρχική η χάρις· Σε μακαρίζομεν.

Οχλούμενος παντοίαις, μάκαρ ταις βασάνοις, ως χαρίτων θείων τεμένει κατέφυγον· ων με Μάρτυς δια τάχους ρύσαι Πολύκαρπε.

***Θεοτοκίον.***

Σε πάσαι αι δυνάμεις, των ουρανών υμνούσι, γενεαί δε πάσαι βροτών δοξάζουσι· Σου ταις πρεσβείαις ρυσθείημεν Πάναγνε.

***Άξιον Εστί. Μεγαλυνάρια.***

Χαίροις των θαυμάτων ο ποταμός, χαίροις των Σμυρναίων αντιλήπτωρ ο ισχυρός, χαίροις της Τριάδος ο θείος μυστολέκτης, δι ην ολοκαυτώθης Μάρτυς Πολύκαρπε.

Δεύτε προσκυνήσομεν ευλαβώς, την πάντιμον χείρα, Πολυκάρπου του αθλητού, βροτών, φυτών, θρεμμάτων, παντοίων εξωθούσαν, νόσων τε και βλάβην, και παρέχουσαν ίασιν.

Τον ιερομάρτυρα του Χριστού, τον εν ασθενείαις ετοιμότατον βοηθόν, και ρύστην εν πάσαις ταις ανάγκαις, ευσεβοφρόνως τιμήσωμεν.

Δεύτε οι νοούντες και εν δεινοίς, πάθεσι τελούντες, αρυσώμεθα εκ πηγής, βλητούσης ιαμάτων την χάριν αέναον ην τοις πάσιν, εν πίστει προσκυνούσι παρέχει θαυμάσια.

Κράζομεν σοι πάτερ ειλικρινώς, ρύσαι εκ παντοίων περιστάσεων σον λαόν θερμώς πεφευγότα τη σκέπη σου τη θεία, και των παραπτωμάτων αιτούμενος άφεσιν.

**Πάσαι των Αγγέλων αι στρατιαί…**

**Τρισάγιον….**

**Απολυτίκιον…**

**40 Κύριε ελέησον….**

**Ήχος πλ. β’**

Την σεπτήν σου χείραν πλούτον ακένωτον, κεκτημένοι πρέσβυν σε προς Θεόν προτιθέμεθα, μη παρίδης νυν σους ικέτας, Πολύκαρπε, αλλ’ επίσπευσον ως συμπαθής εις την αντίληψιν ημών, των πιστώς εκβοώντων σοι· πρόφθασον εν κινδύνοις, και ρύσαι κεκαμωμένους, επικαμπτόμενος νυνί ικεσίαις δεομένων σου.

**Δέσποινα πρόσδεξαι ….Την πάσαν ελπίδα μου….**

**Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.**